www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΒΕΡΡΟΙΑΣ ΚΑΙ ΝΑΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ

# ΙΕΡΟΥΣΑΛΗΜ

ΚΑΙ ΤΩΝ ΤΕΚΝΩΝ ΚΑΙ ΣΥΜΜΑΡΤΥΡΩΝ ΑΥΤΗΣ

## ΣΕΚΕΝΔΟΥ, ΣΕΚΕΝΔΙΚΟΥ & ΚΗΓΟΡΟΥ

*ᾗ προσετέθη καὶ Παρακλητικὸς αὐτῶν κανὼν*

ΑΘΗΝΑΙ 1980

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΙΕΡΟΥΣΑΛΗΜ ΚΑΙ ΤΩΝ ΤΕΚΝΩΝ ΑΥΤΗΣ ΣΕΚΕΝΔΟΥ, ΣΕΚΕΝΔΙΚΟΥ ΚΑΙ ΚΗΓΟΡΟΥ

**ᾗ προσετέθη καὶ Παρακλητικὸς Κανὼν**

Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει
ὑ π ὸ
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΒΕΡΡΟΙΑΣ ΚΑΙ ΝΑΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ

# ΙΕΡΟΥΣΑΛΗΜ

ΚΑΙ ΤΩΝ ΤΕΚΝΩΝ ΚΑΙ ΣΥΜΜΑΡΤΥΡΩΝ ΑΥΤΗΣ

## ΣΕΚΕΝΔΟΥ, ΣΕΚΕΝΔΙΚΟΥ & ΚΗΓΟΡΟΥ

*ᾗ προσετέθη καὶ Παρακλητικὸς αὐτῶν κανὼν*

ΑΘΗΝΑΙ 1980

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

*ΙΕΡΑ ΣΥΝΟΔΟΣ*
*ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ*

*Π ρ ὸ ς*

*Τὸν Σεβασμιώτατον Μητροπολίτην*

*Βερροίας καὶ Ναούσης κ. Παῦλον*

*Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,*

*Ἔχοντες ὑπ' ὄψει τὰς ὑποβληθείσας ἡμῖν, διὰ τοῦ ὑπ' ἀριθμ. Πρωτ. 165/1-6-1979 ὑμετέρου ἐγγράφου ἀκολουθίας, α) τοῦ Ὁσίου Ἀντωνίου, Πολιούχου Βερροίας, β) τοῦ Ἁγίου Νεομάρτυρος Ἀθανασίου τοῦ ἐκ Πύργου, γ) τῆς Ὁσιομάρτυρος Ἱερουσαλὴμ καὶ παρακλητικὸν Κανόνα εἰς τὸν Ὅσιον Θεοφάνην, πολιοῦχον Ναούσης, ποιηθείσας ὑπὸ τοῦ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, ὡς καὶ τὴν σχετικὴν εἰσήγησιν τοῦ Σεβ. Μητροπολίτου Γόρτυνος καὶ Μεγαλοπόλεως κ. Θεοφίλου, Προέδρου τῆς Συνοδικῆς Ἐπιτροπῆς Ποιμαντικοῦ Ἔργου τῆς 122ας Συνοδικῆς Περιόδου, Συνοδικῇ ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς 4-9-1979, ἐγκρίνομεν ταύτας ὡς καλῶς ἐχούσας καθ' ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐταῖς καὶ παρακαλοῦμεν, ὅπως κατὰ τὴν τάξιν ὑποβάλητε ἡμῖν πέντε (5) ἀντίτυπα τῶν ἐκδοθησομένων ἀνωτέρω Ἀκολουθιῶν διὰ τὸ Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Ποιμαντικοῦ Ἔργου καὶ Θείας Λατρείας.*

*Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.*

*† Ὁ Ἀθηνῶν ΣΕΡΑΦΕΙΜ, Πρόεδρος*

*Ὁ Ἀρχιγραμματεὺς*

*† Ἀρχιμ. ΙΕΡΩΝΥΜΟΣ ΛΙΑΠΗΣ*

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

Ἡ Ἀποστολικὴ Ἐκκλησία τῆς Βερροίας σεμνύνεται καὶ καυχᾶται, διότι ἔχει νὰ ἐπιδείξῃ χορείαν ἁγίων τοῦ Χριστοῦ, οἵτινες ὡς ἀστέρες λάμφωτοι καταλάμπουσιν ἐν τῷ νοητῷ στερεώματι τῆς Ἁγίας Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας. Μετὰ βαθυτάτης εὐλαβείας κλίνομεν τὰ γόνατα τῆς ψυχῆς καὶ τοῦ σώματος πρὸ τῶν λειψάνων τῆς Μάρτυρος Ἱερουσαλήμ, ἥτις διέπρεψε κατὰ τὴν σκληρὰν περίοδον τῆς εἰδωλολατρικῆς κυριαρχίας, μαρτυρήσασα μετὰ τῶν υἱῶν της Σεκένδου, Σεκενδίκου καὶ Κηγόρου κατὰ τὰ μέσα τοῦ Γ' αἰῶνος ἐν τῇ πόλει τῆς Βερροίας, ἐπικαλούμενοι τὴν προστασίαν αὐτῶν.

Ὁ σκοπὸς τῆς παρούσης ἐκδόσεως τῆς Ἀκολουθίας τῆς Μάρτυρος Ἱερουσαλὴμ εἶναι διττός: πρῶτον ἡ ὀφειλομένη τιμὴ πρὸς τὴν Μάρτυρα καὶ ἡ δόξα τοῦ Χριστοῦ καὶ δεύτερον ἡ ἀναζωπύρωσις τοῦ φρονήματος τῶν εὐσεβῶν χριστιανῶν τῆς Μητροπολιτικῆς ἡμῶν Περιφερείας.

Προσφέροντες τὴν παροῦσαν ἀκολουθίαν, —ἡ ὁποία ἐποιήθη ἐν Ἁγίῳ Ὄρει ὑπὸ τοῦ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας— εἰς τὸ εὐσεβὲς καὶ ἀγαπητὸν ἡμῶν ποίμνιον καὶ εἰς πάντα εὐσεβῆ, ἐπικαλούμεθα ἐπ' αὐτοὺς τὴν χάριν καὶ τὴν εὐλογίαν τοῦ Κυρίου, διὰ πρεσβειῶν τῆς Μάρτυρος Ἱερουσαλὴμ καὶ τῶν τέκνων αὐτῆς Σεκένδου, Σεκενδίκου καὶ Κηγόρου.

Ἔγραφον ἐν τῷ Ἱερῷ Ἐπισκοπείῳ Βερροίας τὴν Κυριακὴν τῆς Σταυροπροσκυνήσεως 1980.

† Ὁ Βερροίας, Καμπανίας καὶ Ναούσης
ΠΑΥΛΟΣ

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

## ΣΕΠΤΕΜΒΡΙΟΥ Δ΄.

## ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΟΣΙΟΜΑΡΤΥΡΟΣ

# ΙΕΡΟΥΣΑΛΗΜ

## ΚΑΙ ΤΩΝ ΥΙΩΝ ΑΥΤΗΣ ΣΕΚΕΝΔΟΥ, ΣΕΚΕΝΔΙΚΟΥ ΚΑΙ ΚΗΓΟΡΟΥ

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν Βερροιέων ἡ πόλις σκίρτα καὶ χόρευε, ὡς θησαυρὸν πλουτοῦσα, τὴν ὑπέρτιμον κάραν, Χριστοῦ τῆς Ἀθληφόρου Ἱερουσαλήμ, καὶ φαιδρῶς πανηγύρισον, ταύτης τὴν μνήμην γεραίρουσα σὺν αὐτῇ, τοὺς υἱοὺς αὐτῆς ἐν ᾄσμασι.

Ἐξ Ἀλεξάνδρου φυεῖσα Μάρτυς τῆς πόλεως, ὡς πανευῶδες ἄνθος, διαπνέεις τῷ κόσμῳ, Μαρτύρων εὐωδίαν ὑπὲρ Χριστοῦ, σὺν τοῖς τέκνοις ἀθλήσασα, μεθ᾽ ὧν σε πάντες τιμῶμεν ᾀσματικῶς, Ἱερουσαλὴμ πανεύφημε.

Τοῦ μαρτυρίου τοὺς ἄθλους στερρῶς διήνυσας, μετὰ Σεκούνδου Μάρτυς, καὶ Κηγόρου συμφώνως, ὁμοῦ καὶ Σεκενδίκου τῶν σῶν υἱῶν, καὶ Χριστὸν ἐμεγάλυνας· μεθ᾽ ὧν δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, Ἱερουσαλὴμ δεόμεθα.

www.tezaurliturgic.ro



Καταβαλόντες τὸν ὄφιν πόνοις ἀθλήσεως, Σεκένδικε θεόφρον, σὺν Κηγόρῳ Σεκένδῳ, μετὰ τῆς μακαρίας ὑμῶν μητρός, σὺν αὐτῇ ἐδοξάσθητε, μεθ' ἧς ἀεὶ δυσωπεῖτε δοῦναι ἡμῖν, ἱλασμὸν καὶ θεῖον ἔλεος.

Δόξα. Ἦχος α'.

Ἀθλητικὸν ὑπελθόντες στάδιον, ἀνδρειοτάτῃ ψυχῇ, Χριστοῦ τὸ πάθος ἐδοξάσατε, τοῖς τιμίοις ὑμῶν πάθεσιν, Ἱερουσαλὴμ μακαρία, μετὰ τῶν εὐκλεῶν βλαστῶν σου, Σεκενδίκου καὶ Κηγόρου, καὶ Σεκένδου τοῦ θεόφρονος· καὶ τῆς ἄνω δόξης ὁμοῦ μετασχόντες, σὺν Ἀγγέλοις πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς Παναγία Παρθένε.

Ἀπόστιχα.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὢ Ἱερουσαλήμ, Μάρτυς Χριστοῦ θεόφρον, μετὰ τῶν συμμαρτύρων, καὶ εὐκλεῶν υἱῶν σου, ὑπὲρ ἡμῶν ἱκέτευε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Σύστημα ἱερόν, ὁμοῦ συναθλησάντων, ἁγίων Ἀθλοφόρων, ὑπὲρ ἡμῶν δυσώπει, Χριστὸν τὸν Ὑπεράγαθον.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Ὕμνοις σὺν τοῖς τρισίν, ὦ Ἱερουσαλήμ σε, υἱοῖς σου εὐφημοῦμεν, τῇ κάρᾳ σου τῇ θείᾳ, πανευλαβῶς προσπίπτοντες.

Δόξα. Τριαδικόν.

Ὢ Πάτερ καὶ Υἱέ, σὺν Πνεύματι τῷ θείῳ, ὁμότιμε Θεότης, λιταῖς τῶν σῶν Μαρτύρων, ἐλέησον τὸν κόσμον σου.

Καὶ νῦν. Θεοτοκίον.

Σάρκα ἐκ τῶν ἁγνῶν, αἱμάτων σου ὁ Λόγος, λαβὼν ἀναλλοιώτως, διέλυσε Παρθένε, τῆς Εὔας τὸ κατάκριμα.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε Βερροιέων ἡ πληθύς, Ἱερουσαλὴμ τῆς Ἁγίας, Ὁσιομάρτυρος, μνήμην τὴν πανίερον πανηγυρίσωμεν· σὺν τρισὶ γὰρ ἀθλήσασα, υἱοῖς τοῦ Σωτῆρος, ὄνομα τὸ ἅγιον, ὁμοῦ ἐδόξασαν, χαίρετε αὐτοῖς ἐκβοῶντες, Μάρτυρες Χριστοῦ στεφηφόροι, πρέσβεις ἡμῶν μέγιστοι πρὸς Κύριον.

Ὅτε τῆς πατρίδος σου σεμνή, μετὰ τῶν υἱῶν σου φυγοῦσα, νεύσει τοῦ κρείττονος, χαίρουσα διέδραμες Χριστὸν κηρύττουσα, πλείστας πόλεις τῆς πίστεως, ζήλῳ πυρουμένη, οἷάπερ ἀπόστολος, λόγου τῆς χάριτος, Ἱερουσαλὴμ μακαρία, καὶ ἐν τῇ Βερροίᾳ τὸν δρόμον, ἤνυσας νομίμως τῆς ἀθλήσεως.

Ὅτε ἀσεβείας τῷ κριτῇ, Ἱερουσαλὴμ σὺν υἱέσιν, ἀνδρείως ἔστητε, τότε διηλέγξατε, πλάνης τὸ μάταιον, καὶ συμφώνως κηρύξαντες, Χριστὸν τὸν Σωτῆρα, πόνων τῶν τοῦ σώματος, κατετολμήσατε. Ὅθεν ὑμᾶς ὕμνοις τιμῶμεν, ὡς τὸν πανοικτίρμονα Λόγον, ἀπεργαζομένους ἡμῖν ἵλεων.

Προσόμοια ἕτερα. Ἦχος ὁ αὐτός. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν ἄνθεσι, καταστέψωμεν τοὺς Ἀθλοφόρους, Ἱερουσαλὴμ τὴν θεόληπτον, Σέκενδον ὁμοῦ καὶ Σεκένδικον, Κήγορον σὺν τούτοις ἀνυμνοῦντες· τὰ θεῖα, Ἀλεξανδρείας γεωργήματα· Βερροίας, τὰ φωταυγῆ ἐγκαλλωπίσματα· ὑπὲρ Χριστοῦ γὰρ

www.tezaurliturgic.ro



προθύμως, ἐν μιᾷ καρδίᾳ, ἠγωνίσαντο ἀνδρικῶς, ἡμῖν ἐξαιτούμενοι, ἱλασμὸν καὶ μέγα ἔλεος.

Ποίοις μελῳδικοῖς ᾄσμασιν, ἀνυμνήσωμεν τοὺς ἀριστέας· τοὺς ὑπὲρ Χριστοῦ ἐναθλήσαντας, καὶ τοὺς δυσσεβεῖς καταισχύναντας, πόνοις ἀνενδότοις μαρτυρίου· ὡς ἄστρα, ἐκ τῆς Αἰγύπτου γὰρ ἐπέφαναν, ἀκτῖσι, τῆς εὐσεβείας καταυγάζοντες, τοὺς ἐν νυκτὶ τῆς ἀπάτης, καὶ ἐν τῇ Βερροίᾳ, καθελόντες τὸν δυσμενῆ, πρὸς λῆξιν ἀνέσπερον, ἀγαλλόμενοι ἀνέδραμον.

Πάντες ἀθλητικοῖς μέλεσι, μακαρίσωμεν τοὺς Ἀθλοφόρους, Ἱερουσαλὴμ καὶ Σεκένδικον, Σέκενδον καὶ Κήγορον μέλποντες, ἡνωμένους φύσει τε καὶ πίστει· Κυρίου, τὰ λογικὰ ὁλοκαρπώματα· τὰ γέρα, Μακεδονίας τὰ θεόσδοτα· τοὺς τῆς Βερροίας λαμπτῆρας, τοὺς θαυμάτων φέγγει, καταυγάζοντας τοὺς πιστούς, καὶ πᾶσι παρέχοντας, εὐφροσύνην θείᾳ χάριτι.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ἡ τετραυγὴς τῶν Μαρτύρων συνέλευσις, τὴν Ἐκκλησίαν λαμπρύνει, τῇ ἐτησίῳ μνήμῃ αὐτῶν· Ἱερουσαλὴμ γὰρ ἡ ἔνδοξος, οὓς πιστῶς ἐτιθηνήσατο, ὡς ἱερεῖα ἔμψυχα Χριστῷ προσήγαγεν, ὑπερφυῶς σὺν αὐτοῖς ἀγωνισαμένη· καὶ μετ᾽ αὐτῶν, τῶν οὐρανίων ἐπάθλων τυχοῦσα, τὴν πόλιν Βέρροιαν ἁγιάζει, τῇ ἁγίᾳ αὐτῆς κάρᾳ, τῇ παρὰ Χριστοῦ δοξασθείσῃ· ἰάσεις γὰρ παρέχει, καὶ ῥύπον παθῶν καθαίρει, τῶν εὐλαβῶς προσιόντων· Χριστὸς γὰρ ὁ Κύριος, ὁ δοξασθεὶς αὐτῶν τοῖς μέλεσι, θαυμαστῶς αὐτοὺς ἐδόξασε, καὶ δωρεῖται δι᾽ αὐτῶν, ἡμῖν χάριν καὶ ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ΄ 9).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ΄ 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βα-

www.tezaurliturgic.ro



σίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα.

Ἦχος α'.

Δαβιτικῶς εὐφράνθητι, Ἱερουσαλὴμ μακαρία, ὡς μήτηρ ἐπὶ τέκνοις ἁγίοις· οὓς πίστει ἢ γάλακτι, καὶ εὐσεβείας δόγμασι προήγαγες, τελείους μάρτυρας προσήνεγκας, τῷ Ἀθλοθέτῃ Κυρίῳ, σὺν αὐτοῖς καλῶς ἀθλήσασα· καὶ νῦν τὴν ἀκατάλυτον χορείαν, μετ' αὐτῶν χορεύουσα, ἱκεσίαν ὑπὲρ ἡμῶν ὁμοῦ ποιήσατε, ὡς ἂν πόνων καὶ κινδύνων ῥυώμεθα, καὶ πταισμάτων ἄφεσιν λάβωμεν, παρὰ Χριστοῦ τοῦ Πανοικτίρμονος.

Ἦχος β'.

Τὴν τῶν Μαρτύρων τρίστιχον χορείαν, σὺν μητρὶ θεόφρονι μακαρίσωμεν· ἐν τέσσαρσι γὰρ σώμασι, μίαν γνώμην ἐκτήσαντο, καὶ ὁμοψύχῳ καρδίᾳ, πρὸς τοὺς ἀγῶνας τῆς ἀθλήσεως, ἀνδρείως ἀπεδύσαντο· καὶ ὁμολογίᾳ τῆς πίστεως, τυρρανικὴν μανίαν ἐξεφαύλισαν, ἐν ἀσθενείᾳ φύσεως, τὸν ἄσαρκον ἐχθρὸν θριαμβεύσαντες. Ἀλλ' ὦ Μάρτυρες ἔνδοξοι, Ἱερουσαλὴμ καὶ Σέκενδε, Σεκένδικε καὶ Κήγορε, θύματα Χριστοῦ ἱερώτατα, καὶ ἱερεῖα καθαρά, τῇ Παναγίᾳ Τριάδι πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Ἦχος γ'.

Νόμῳ φύσεως συνδούμενοι, καὶ εὐσεβείας χάριτι, ἀλλήλων ἐξαρτώμενοι, χορὸς μακάριος ὤφθητε, τετράριθμοι Μάρτυρες· καὶ μιᾷ φωνῇ Χριστὸν κηρύξαντες, τῆς ἀσεβείας τὸν σύνδεσμον διελύσατε, ποικίλοις βασάνοις ὁμιλήσαντες, στερροτάτῃ καρδίᾳ, καὶ γενναίῳ φρονήματι· καὶ ἐν πυρὶ δοκιμασθέντες, Κήγορε καὶ Σέκενδε, καὶ ὑπ' ἀγρίων ἵππων συρεὶς Σεκένδικε, Χριστῷ νικηφόροι ἀνελύσατε· καὶ ξίφει τμηθεῖσα Ἱερουσαλήμ, σφραγὶς τῆς ἀθλήσεως, τῶν σῶν τέκνων γέγονας. Ἀλλ' ὡς τῆς ἄνω Ἱερουσαλὴμ πολῖται, μὴ παύσητε Χριστόν, ἡμῖν ἱλεούμενοι.

Ἦχος δ'.

Μαρτυρικοῖς ἀγῶσι, καθελόντες τὸν ἐχθρόν, τῆς εὐσεβείας τὴν δύναμιν ὑπὲρ ἥλιον λάμπουσαν, πᾶσιν ἐδείξατε, ἀτρέπτοις ἐνστάσεσι, καὶ πεπαρρησιασμένῳ προσώπῳ, Μάρτυρες αὐτάδελφοι, σὺν μακαρίᾳ μητρί· ὅθεν Βέρροια ἡ πόλις, τοῖς ὑμῶν καμάτοις ἁγιασθεῖσα, μακαρίζει ὑμῶν τὴν ἄθλησιν, καὶ πρέσβεις καὶ μεσίτας, πρὸς Χριστὸν ὑμᾶς προβαλλομένη βοᾷ. Ὡς ἔχοντες παρρησίαν, Ἀθληταὶ ἀήττητοι, ἀεὶ δυσωπεῖτε, δίδοσθαι ἡμῖν εἰρήνην, καὶ τὸ θεῖον ἔλεος.

Δόξα. Ὁ αὐτός.

Τὸ τετραστέλεχον τῶν Μαρτύρων σύστημα, πᾶς ὁ τοῦ Θεοῦ λαός, ὕμνοις καὶ ᾠδαῖς τιμήσωμεν λέγοντες· χαίροις Ἱερουσαλὴμ Ἀθληφόρε, ἁγίων γυναικῶν ἐγκαλλώπισμα· χαίροις Σέκενδε ἀήττητε, εὐσεβείας ἄνθος εὔοσμον· χαίροις Σεκένδικε ἔνδοξε, Χριστοῦ σκεῦος καθαρώτατον· χαίροις Κήγορε θεόφρον, Ἀθλητὰ Κυρίου ἐνθεώτατε χαίροις ὅμιλε ὁμόψυχε, μήτηρ σὺν υἱέσιν, οἱ μιᾷ πίστει τραφέντες καὶ αὐξηθέντες, καὶ ὁμοφρόνως ἀριστεύσαντες· Μαρτύρων ὁμόσκηνοι, Ἀγγέλων ἰσοστάσιοι, σὺν αὐτοῖς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

www.tezaurliturgic.ro



Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ τῶν Μαρτύρων τετράς, Ἀλεξανδρείας οἱ βλαστοὶ οἱ ἀμάραντοι, Βερροίας ἄνθη εὐώδη, καὶ ἀληθεῖς ἀρωγοί, καὶ θερμοὶ μεσῖται πρὸς τὸν Κύριον· οἱ πᾶσαν τὴν ἔφεσιν, πρὸς Χριστὸν μεταθέμενοι, Σέκενδε Μάρτυς, καὶ Σεκένδικε ἔνδοξε, θεῖε Κήγορε, θεοφόροι ὁμαίμονες· παῖδες ἀειμακάριστοι, μητρὸς τῆς θεόφρονος, Ἱερουσαλὴμ τῆς θείας, μεθ' ἧς λαμπρῶς ἠγωνίσασθε. Καὶ νῦν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις ῥίζα κομῶσα λαμπρῶς, τῆς εὐσεβείας τοῖς καρποῖς καὶ ταῖς χάρισιν, ὡς ὅλη ἀνακειμένη, τῷ ἐπὶ πάντων Θεῷ, Ἱερουσαλὴμ τε ἀξιάγαστε· ἐκ σοῦ γὰρ ἐβλάστησαν, οἷα ῥόδα ἡδύπνευστα, οἱ τρεῖς σου παῖδες, καὶ τὸν κόσμον κατηύφραναν, δι' ἀθλήσεως, εὐωδίᾳ τῆς πίστεως· ἅμα γὰρ ἀριστεύσασα, σὺν τούτοις τῷ σκάμματι, παιδαγωγία μητέρων, ὤφθης καὶ τύπος ἐν ἅπασι. Καὶ νῦν ἐκδυσώπει, μετ' αὐτῶν ἡμῖν δοθῆναι, τὸ θεῖον ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν...

Χαίρει ἐν τῇ ἀθλήσει ὑμῶν, Μεγαλομάρτυρες Κυρίου περίδοξοι, ἡ πόλις τῶν Βερροιέων, καὶ ἑορτάζει φαιδρῶς, τὴν ἁγίαν μνήμην ὑμῶν σήμερον· ἐν ταύτῃ γὰρ χαίροντες, τὸν ἀγῶνα ἠνύσατε, καὶ νίκης μέγα, ἀνεστήσατε τρόπαιον, θριαμβεύσαντες, τῶν ἐχθρῶν τὴν παράταξιν· ὅθεν καὶ τὴν σεβάσμιον, κατέχουσαν κάραν σου, Ἱερουσαλὴμ θεόφρον, χάριν καρποῦται θεόσδοτον, Χριστὸν ἀνυμνοῦσα, τὸν δοξάσαντα πλουσίως, ὑμᾶς μακάριοι.

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε ἅπαντες πιστοί, μαρτυρικοῖς ἐγκωμίοις τιμήσωμεν, μητέρα θεόφρονα, σὺν ἁγίοις υἱοῖς, ὑπὲρ Χριστοῦ συμφώνως ἀθλήσαντας· Ἱερουσαλὴμ γὰρ ἡ θεοτίμητος, σὺν τοῖς τρισὶν αὐτοῖς βλαστήμασι, μυριάριθμον πληθὺν ἐχθρῶν ἀοράτων, εὐσεβείας ὅπλοις κατηγωνίσαντο· καὶ νικητικοῖς διαδήμασι, παρὰ Χριστοῦ στεφανωθέν-

www.tezaurliturgic.ro



τες, τῆς αἰωνίου ζωῆς κληρονόμοι γεγόνασιν. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, Φιλάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν Ἁγίων σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὰ Ἀπολυτίκια.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἀθλήσασα νομίμως τὸν Χριστὸν ὡμολόγησας, Ἱερουσαλὴμ Ἀθληφόρε, σὺν υἱοῖς καὶ δεδόξασαι· ἐντεῦθεν σου τὴν κάραν τὴν σεπτήν, ἡ Βέρροια πλουτήσασα πιστῶς, ἑορτάζει σου τὴν μνήμην τὴν ἱεράν, καὶ ἐκ ψυχῆς κραυγάζει σοι· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τετράριθμον ὅμιλον, τῶν Ἀθλητῶν τοῦ Χριστοῦ, Σεκένδικον Σέκενδον, σὺν τῷ Κηγόρῳ ὁμοῦ, συμφώνως τιμήσωμεν, ἅμα καὶ τὴν μητέρα, τὴν αὐτῶν συνυμνοῦντες, τούτοις συνηθληκυῖαν, Ἱερουσαλὴμ τὴν θείαν· Τριάδι γὰρ τῇ Ἁγίᾳ, ὑπὲρ ἡμῶν πρεσβεύουσι.

Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον...

Ἀπόλυσις.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τετρὰς ἡ εὐκλεής, τῶν Ἁγίων Μαρτύρων, ἐνήθλησε στερρῶς, ἐν τῇ πόλει Βερροίας· ἰσόψυχοι γὰρ ὤφθησαν, ἐν ἀγῶσιν ἀθλήσεως· ὅθεν εὕραντο, τὴν αἰωνίζουσαν δόξαν, καὶ πρεσβεύουσιν, ὑπὲρ ἡμῶν τῶν τιμώντων, αὐτῶν τὰ παλαίσματα.

Θεοτοκίον.

Χριστὸν τὸν ἐκ τῶν σῶν, προελθόντα αἱμάτων, ἱκέτευε ἀεὶ Θεοτόκε Παρθένε, διδόναι ἡμῖν ἔλεος, καὶ πταισμάτων συγχώρησιν, καὶ τυχεῖν ἡμᾶς, ἐν τῇ ἡμέρᾳ τῆς δίκης, ζωῆς κρείττονος, τοὺς προσκυνοῦντας ἐν πίστει, τὸν ἄσπορον τόκον σου.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Ὁσιομάρτυς τοῦ Χριστοῦ δεδοξασμένη, ἡ καθελοῦσα τῶν εἰδώλων τὴν ἀπάτην, Ἱερουσαλὴμ θεόφρον σὺν τοῖς υἱοῖς σου, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, κινδύνων καὶ τῶν πταισμάτων ἀπαλλαγήν, τοῖς ἐκ πόθου γεραίρουσι, τὴν μνήμην σου τὴν ἱεράν, καὶ τῇ παντίμῳ κάρᾳ σου, προσιοῦσιν ἑκάστοτε.

Θεοτοκίον.

Ἀναλλοιώτως τὸν Υἱὸν Θεοῦ καὶ Λόγον, καὶ ἀνωδίνως τετοκυῖα Θεοτόκε, τὰς ὀδύνας ἴασαι τῆς ταπεινῆς ψυχῆς μου, καὶ στῆσόν με ἐπὶ πέτραν τὴν ἀσφαλῆ, τῶν θείων παραγγελμάτων τοῦ σοῦ Υἱοῦ, ἀλλοιούμενον πάντοτε, τῆς ἁμαρτίας τῇ φορᾷ, ἐξ ἧς με ἀπολύτρωσαι, μητρικῇ σου χρηστότητι.

www.tezaurliturgic.ro



Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Οἱ τετράριθμοι Μάρτυρες καὶ ἀήττητοι, Ἱερουσαλὴμ τῆς ἁγίας βλαστοὶ οἱ ἔνθεοι, ἀνυμνείσθωσαν ὁμοῦ σὺν τῇ μητρὶ αὐτῶν· ὅτι ἐνήθλησαν στερρῶς, καὶ καθεῖλον τὸν ἐχθρόν, τῆς πίστεως τῇ δυνάμει· καὶ νῦν ἀεὶ δυσωποῦσιν, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Παναγία Παρθένε Θεοχαρίτωτε, ἡ Θεὸν σαρκωθέντα ἡμῖν κυήσασα, τῆς ψυχῆς μου τὰ δεινὰ πάθη θεράπευσον, καὶ τὴν μανίαν τοῦ ἐχθροῦ, τὴν κατ' ἐμοῦ ἐν λογισμοῖς, κατάβαλε Θεοτόκε, καὶ τοῦ Υἱοῦ σου τῷ φόβῳ, τὸν νοῦν μου τείχισον καὶ σῶσόν με.

Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Εὐάγγελιον τὸ ἐν τῷ ὄρθρῳ τοῦ Ἁγίου Γεωργίου.

Ὁ Ν'. Δόξα. Ταῖς τῶν Ἀθλοφόρων...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Τοῦ μαρτυρίου τὴν ὁδόν, σὺν τοῖς υἱοῖς σου ἀνύσασα, Ἱερουσαλὴμ θεοφόρε, τῶν οὐρανίων ἀναρρήσεων, μεγαλοπρεπῶς ἠξιώθητε· τῷ γὰρ ξύλῳ τῆς ζωῆς, λαμπρῶς ἀποκατέστητε, θεαρχικαῖς μετοχαῖς θεούμενοι, καὶ τὸ ἀμήχανον κάλλος, τοῦ Σωτῆρος ὁρῶντες. Αὐτῷ πρεσβεύσατε δεόμεθα, ῥύεσθαι ἡμᾶς πάσης ἀνάγκης, καὶ τῷ θείῳ φωτί, ἐλλαμφθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καὶ τῶν Ἁγίων, φέροντες τὴν ἑξῆς ἀκροστιχίδα.

«Ἱερουσαλὴμ σὺν τέκνοις ᾄδω. Γερασίμου».

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἰσχύν μοι πρυτάνευσον, Λόγε Θεοῦ Ὑπεράγαθε, καὶ λόγον μοι δώρησαι, ταῖς παρακλήσεσι, τῶν Μαρτύρων σου, ὅπως αὐτῶν ὑμνήσω, τὴν μνήμην τὴν πάνσεπτον, καὶ τὰ παλαίσματα.

www.tezaurliturgic.ro



Ἐκ πόλεως ἔλαμψας, Ἀλεξανδρείας πανεύφημε, σελήνη ὡς πάμφωτος, ἐπαγομένη λαμπρῶς, χορὸν ἅγιον, ἀστέρων ὥσπερ ἄλλων, υἱῶν σου τὴν πάντιμον, τριάδα πάνσεμνε.

Ρωννύμενοι χάριτι, παντοδυνάμῳ τοῦ Πνεύματος, οἱ Ἅγιοι Μάρτυρες, κατηγωνίσαντο, μετὰ σώματος, ἐχθρῶν ἀσάρκων στῖφος, καὶ νίκης διάδημα, θεόθεν ἔλαβον.

Θεοτοκίον.

Ὁ θρόνος ὁ πύρινος, τοῦ Βασιλέως τῆς κτίσεως, τὸ μέγα παλάτιον τοῦ Παντοκράτορος, ἀνυμνείσθω μοι, ἡ Θεοτόκος Κόρη· αὐτῆς τῇ πρεσβείᾳ γάρ, πάντες σωζόμεθα.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ὑψώσαντες νοῦν καὶ τὴν καρδίαν, Χριστῷ Ἱερουσαλὴμ σεμνή, ὁμοῦ μετὰ τῶν τέκνων σου, προθύμως ἀπεδύσασθε, πρὸς μαρτυρίου σκάμματα, ὁμοφωνίᾳ συνδούμενοι.

Στερρότητι γνώμης τῶν τυράννων, σαφῶς ἀντετάξασθε βουλῇ, Σεκένδικε καὶ Κήγορε, καὶ Σέκενδε θεόληπτε, καὶ πόνοις τῆς ἀθλήσεως, περιφανῶς ἠριστεύσατε.

Ἀγάλλεται Βέρροια ἡ πόλις, τιμῶσα ὑμᾶς πανευλαβῶς· ἐν ταύτῃ γὰρ ἀθλήσαντες, ὦ Μάρτυρες τετράριθμοι, προστάται αὐτῆς ὤφθητε, καὶ πρεσβευταὶ πρὸς τὸν Κύριον.

Θεοτοκίον.

Λυχνία ἑπτάφωτος ἐδείχθης, Παρθένε τὸ φῶς τὸ Πατρικόν, ἐν ὕλῃ σαρκὸς τέξασα, Χριστὸν τὸν Παντοδύναμον· διὸ κἀμὲ καταύγασον, τῷ φωτισμῷ τῆς σῆς χάριτος.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἀσκήσει καθάρασα, τὸ ὀπτικὸν τῆς ψυχῆς, ἀθλήσει ἠγώνισαι, ὑπὲρ τῆς δόξης Χριστοῦ, Ἱερουσαλὴμ πάνσεμνε· σὺ γὰρ μετὰ τῶν τέκνων, ἐν Βερροίᾳ τῇ πόλει, ᾔσχυνας τὸν Βελίαρ, τοῖς στερροῖς σου ἀγῶσι· διό σου τὴν ἁγίαν, κάραν προσπτυσσόμεθα.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Σαρκὶ ἐξ αἱμάτων σου, ὁ τῶν ἁπάντων Θεός, τεχθεὶς ὡς ηὐδόκησε, δίχα τροπῆς καὶ φυρμοῦ, τὸν κόσμον ἀνέπλασεν· ὅθεν παλαιωθεῖσαν, τὴν ψυχήν μου κακίᾳ, καίνισον Θεοτόκε, τῇ εὐσπλάγχνῳ ῥοπῇ σου, καὶ δίδου μοι δυσωπῶ σε, ἀξίαν μετάνοιαν.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ἡ θεόληπτός σου γλῶσσα, τοῦ Σωτῆρος τὴν σάρκωσιν, ὥσπερ ἄλλη σάλπιγξ, Ἱερουσαλὴμ ἀνεκήρυξε· πλείστας γὰρ πόλεις διήρχου καταγγέλλουσα, τὴν σωτήριον, διδασκαλίαν τῆς χάριτος.

Μακρυνθεῖσα τῆς πατρίδος, σὺν τοῖς τέκνοις σου ἔνδοξε, ἧκες ἐν τῇ Ῥώμῃ, πίστεως τὸν λόγον κηρύττουσα, καὶ ἐν Ἐδέσσῃ τῇ πόλει παραγέγονας, καὶ τὸ ἅγιον, τῶν μοναχῶν σχῆμα ἔλαβες.

Σὺν τοῖς τέκνοις Βερροιέων, ἐν τῇ πόλει ἐσκήνωσας, καὶ τῆς σωτηρίας, Ἱερουσαλὴμ πολλοῖς πρόξενος, ὡς ἀληθῶς ἀνεδείχθης βίῳ κρείττονι, καὶ διδάγμασι, τῆς εὐσεβοῦς ἐπιγνώσεως.

Θεοτοκίον.

Ὑπερέβης τῶν Ἀγγέλων, ἀληθῶς τὰς λαμπρότητας, ὡς ἀποτεκοῦσα, τὸν Δημιουργὸν τούτων Ἄχραντε· ὅθεν τὸν νοῦν μου ὑπέρτερον ἀνάδειξον, πάσης σχέσεως, χαμαιπετοῦς ἱκετεύω σε.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Νοός σου τὸ ἄτρεπτον, ὁ τύραννος ἐθαύμασεν, Ἱερουσαλὴμ Ὁσιομάρτυς· οὐ γὰρ ἐκάμφθης ταῖς τῶν δεινῶν ἀπειλαῖς, ἀλλ' ἀνδρειοτάτως τὰς πληγάς, ἔφερες τοῦ σώματος, τὸν Χριστὸν μεγαλύνουσα.

Τὰς στρέβλας τοῦ σώματος, καὶ τοῦ πυρὸς τὴν ἔκκαυσιν, ἤνεγκας Σεκένδικε ἀνδρείως, σὺν τῷ Σεκένδῳ καὶ τῷ Κηγόρῳ ὁμοῦ, τοῖς σοῖς ὁμοψύχοις ἀδελφοῖς· ὅθεν πρὸς οὐράνιον, δροσισμὸν ἀνεδράμετε.

Εὐτόλμως κηρύττουσαν, Χριστὸν τὸν πάντων ἄνακτα, Ἱερουσαλὴμ Ὁσιομάρτυς ἐν τῷ ἰκρίῳ σὲ ἀπῃώρησε, καὶ τὰς σάρκας ἔξεσε τὰς σάς, σιδηροῖς ἐν ὄνυξιν, ὁ παράφορος τύραννος.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Κατάβαλε Δέσποινα, ἐχθρὸν τὸν πολυμήχανον, τὸν ἀεὶ ἐνέδρας μοι καὶ δόλους, ἐπινοοῦντα καὶ πολεμοῦντα σφοδρῶς, καὶ πρὸς μετανοίας με ὁδόν, ἀσφαλῶς ὁδήγησον, τὸν ἀνάξιον δοῦλόν σου.

Ὠδὴ στ'. Τὴν θείαν ταύτην.

Νύκτα τῆς πλάνης ἐλύσατε, ἐν πόλει Βερροιέων ἀθλήσαντες, Ἅγιοι Μάρτυρες, Σέκενδε ἅμα καὶ Κήγορε, καὶ Ἱερουσαλήμ τε, μάκαρ Σεκένδικε.

Οἱ Ἀθληταὶ οἱ περίδοξοι, σὺν Ἱερουσαλὴμ ὁ Σεκένδικος, Σέκενδος Κήγορος, ὥσπερ λυχνία τετράφωτος, πυρσεύουσι τοῖς πᾶσι, θεῖα χαρίσματα.

Ἰάσεις βρύει τῇ χάριτι, ὦ Ἱερουσαλὴμ τῇ τοῦ Πνεύματος, ἡ θεία κάρα σου· ὅθεν ἡ Βέρροια γάνυται, αὐτὴν καταπλουτοῦσα, ὡς θεῖον δώρημα.

Θεοτοκίον.

Σωματωθεὶς ἐξ αἱμάτων σου, Παρθένε ὁ διδοὺς πᾶσιν ὕπαρξιν, πύλην σε ἔδειξε, τῆς σωτηρίας καὶ εἴσοδον, τοῖς προσκυνοῦσι Κόρη, τὸ σὸν μυστήριον.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀθλητικῶς καταβαλόντες τὸν ὄφιν, ἐν τῇ δυνάμει τοῦ Χριστοῦ Ἀθλοφόροι, τῆς οὐρανίου δόξης ἠξιώθητε, Ἱερουσαλὴμ σεμνή, σὺν τοῖς θείοις σου τέκνοις, μεθ' ὧν καθικέτευε, τὴν Ἁγίαν Τριάδα, ἁμαρτιῶν διδόναι ἱλασμόν, τοῖς εὐφημοῦσιν, ὑμῶν τὰ παλαίσματα.

Ὁ Οἶκος.

Ἀλεξανδρείας προελθοῦσα τῆς πόλεως, ὥσπερ λαμπὰς φαεινὴ καὶ πολύφωτος, τῆς εὐσεβείας τῷ φωτί, σὺν τοῖς υἱοῖς σου τοῖς σεπτοῖς, Ἱερουσαλὴμ πανευκλεής, καταπυρσεύετε τὴν γῆν, ὑπελθόντες μαρτυρικῶς, τὸ τῆς ἀθλήσεως μέγα στάδιον· φύσει γὰρ καὶ πίστει ἡνωμένοι, τῶν ἐπὶ γῆς ῥεόντων ὡς φθαρτῶν ὑπερήρθητε τῷ νοΐ, καὶ τῷ Χριστῷ ἠκολουθήσατε, πόνοις καὶ καμάτοις καὶ σκάμμασι· καὶ Κινδιανῷ τῷ δυσσεβεῖ, ἀνδρειοτάτῃ ἀντιταξάμενοι ψυχῇ, μω-

www.tezaurliturgic.ro



λώπων καὶ ἀλγηδόνων, καὶ πυρὸς καὶ ξεσμῶν πεῖραν λαβόντες, οὐκ ἐπαύσασθε ὁμολογοῦντες Χριστόν· ὦ νῦν ἐν παρρησίᾳ παρεστῶτες, μὴ παύσητε πρεσβεύοντες, ἁμαρτιῶν διδόναι ἱλασμόν, τοῖς εὐφημοῦσιν ὑμῶν τὰ παλαίσματα.

## Συναξάριον

Τῇ δ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας ἐνδόξου Ὁσιομάρτυρος Ἱερουσαλὴμ καὶ τῶν τριῶν αὐτῆς τέκνων καὶ συμμαρτύρων Σεκένδου, Σεκενδίκου καὶ Κηγόρου.

Στίχ. Πόλον Ἱερουσαλὴμ ἄνω σὺν τέκνοις

Ὤκησε Παύλου τὴν ἐπώνυμον πόλιν.

Ἀμφὶ τετάρτην Ἱερουσαλὴμ κράτα δειροτομήθη.

Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Πρόβου, ἐν ἔτει σλβ΄ - σπβ΄ (232 - 282), τὸ γένος εὐσεβής, ἐκ πόλεως ὁρμωμένη Ἀλεξανδρείας. Τραφεῖσα οὕτω καὶ παιδευθεῖσα, καὶ γράμμασιν ἱεροῖς ἐντυγχάνει. Παρά τε τῶν γεννητόρων ἐν σεμνείῳ τινὶ καταλεχθεῖσα, ἐξ ἐκείνων δέ, ὡς εἰπεῖν, τὴν καρδίαν μέλιτι ὥσπερ γλυκανθεῖσα, καὶ τῆς ἐκεῖθεν αἴγλης τὸ ὄμμα κατεφωτίσθη τῆς ψυχῆς, πάντα οὖν τὰ τοῦ κόσμου τερπνὰ καὶ ἡδέα σκύβαλα ἡγήσατο.

Εἰ καὶ ἀκούσασα, παρὰ τοῦ πατρὸς καὶ τῆς μητρός, ἀκουσίως ἀνδρὶ ἐκδίδοται, καὶ τριῶν παίδων μήτηρ γνωρισθεῖσα ἀρρένων, (Σέκενδος, Σεκένδικος καὶ Κήγορος οὗτοι ἐκαλοῦντο), ἔλαχε τὸν ἄνδρα αὐτῆς ἀποθανεῖν, χηρείᾳ τε ταύτην ὑπελθεῖν. Ἀφ' ἧς τῆς οἰκείας πόλεως ἀπάρασα, πόλιν ἐκ πόλεως διήρχετο, μετά γε τῶν τέκνων αὐτῆς, κηρύττουσα τὸν Χριστὸν Θεὸν εἶναι ἀληθινον καὶ ποιητὴν πάντων, κατήντησε μέχρι τῆς πρεσβυτέρας τῶν πόλεων Ρώμης. Ἐν ταύτῃ τε τὸν Χριστὸν κηρύξασα, καὶ ἐν τοῖς μέρεσιν Ἐδέσσης ἐλθοῦσα, παρά τινος μοναχοῦ, Εὐσεβίου καλουμένου, καὶ τοῦ τῆς ἱερωσύνης ἀξιώματι ἠξιωμένου, ἐξ αὐτοῦ ἡ ἁγία τὸ μοναχικὸν ἐπενδύεται σχῆμα. Καὶ πρὸς δυσμὰς τραπεῖσα, ἐν μιᾷ τῶν πόλεων τυγχάνει περιφανεῖ, καὶ πολλῶν ἡδέων πεπλουτισμένῃ, Βέρροια αὕτη ἦν· καὶ ἐν αὐτῇ τὸν Χριστὸν καταγγέλλουσα, καὶ πολλοὺς τῶν Ἑλλήνων πρὸς Χριστὸν ἐπιστρέφουσα, Κινδιανῷ τῶν Θεσσαλονικέων Δουκὶ μηνύεται.

Καὶ αὐτὸς ὁ Δοὺξ ἐν αὐτῇ τῇ Βερροίᾳ γίνεται, καὶ αὐτῷ εἰς ἐξέτασιν ἡ ἁγία ἄγεται σὺν τοῖς τρισὶν υἱέσι. Καὶ ἐπεὶ εὗρε τούτους τῇ πίστει ἀρραγεῖς, ἐρωτηθέντας πρότερον παρὰ Δουκὸς τὴν κλῆσιν, τὴν πατρίδα, καὶ τοῦ γένους τὴν ὕπαρξιν, «Πείσθητί μοι φησὶν ὦ γύναι, καὶ προσελθοῦσα θῦσον τοῖς μεγάλοις θεοῖς, οἵ σε τοιούτων υἱῶν μητέρα ἀνέδειξαν. Εἰ δ' οὖν, πικροῖς ἀνηλέοις βασάνοις σε σὺν τοῖς υἱοῖς σου παραδώσω». Ἡ ἁγία τοῦ Χριστοῦ ἔφη Ἱερουσαλήμ· «Ἡμεῖς ζῶντι καὶ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ, θύειν μεμαθήκα-

www.tezaurliturgic.ro



μεν· ξοάνοις δέ, κωφοῖς θεοῖς, οἳ τοὺς αὐτοῖς λατρεύοντες ὁμοίους ποιοῦντες, οὐδὲ ἀκοῦσαι ἀνεχόμεθα».

Ταῦτα Κινδιανὸν εἰς θυμὸν ἐλάσαντα, ἐν πυρακτωμένῃ ἐσχάρᾳ τὸν Κήγορον ἀνακλιθῆναι κελεύει, ὀβελίσκοις δέ, καὶ αὐτοῖς πεπυρακτωμένοις, ταῖς ρισὶ κατακεντᾶται. Οὗ γενομένου, τὴν ψυχὴν τῷ Θεῷ παρέθετο. Εἶτα τὸν Σέκενδον, ἐν ξύλῳ χεῖρας καὶ πόδας δεθέντα, κελεύει ράβδοις τύπτεσθαι. Εἶτα ἐπὶ τὴν ἑαυτοῦ κεφαλὴν πεπυρακτωμένην ἐπιθεῖναι περικεφαλαίαν, ἐν οἷς πρὸς Κύριον ἐξεδήμησεν. Εἶτα τὸν Σεκένδικον ἐν ἀγρίοις ἵπποις ἐλαθῆναι προστάσσει, ὑφ᾽ ὧν καὶ συρείς, εἰς χεῖρας Θεοῦ καὶ αὐτὸς τὸ πνεῦμα παρέθετο. Αὐτὴν δὲ τὴν Ἱερουσαλήμ, ἐν ἰκρίῳ ἀναρτηθεῖσαν, ὄνυξι σιδηροῖς τὰς αὐτῆς τιμίας σάρκας προσέταξε ξέεσθαι, ὑφ᾽ ὧν ἀβλαβής, διὰ τῆς χάριτος τοῦ Χριστοῦ διαφυλαχθεῖσα, καὶ ἑτέρας βασάνους δεινὰς ὑπομείνασα, ὕστερον προστάξει τοῦ παρανόμου Δουκός, τὴν κεφαλὴν ἀπετμήθη. Τινὲς δὲ τῶν φιλοχρίστων, νύκτωρ περισωρεύσαντες ἐν τῷ πρὸς μεσημβρίαν τῆς πόλεως Βερροίας τόπῳ κατέκρυψαν, ἐν ᾧ μετέπειτα ἵδρυται ὁ νῦν ὁρώμενος θεῖος ναός, παραδόξων ἐν αὐτῷ τελουμένων θαυμάτων, εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δοξαζομένου ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ταῖς αὐτῶν πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ἀκατάφλεκτοι, ἐν τῷ πυρὶ ὡράθητε, Σέκενδε ἔνδοξε, σὺν Σεκενδίκῳ στερρῷ, τὴν δρόσον τοῦ Πνεύματος, ὑποδεχόμενοι, καὶ τελέσαντες, τὸν δρόμον τῆς ἀθλήσεως, ἠριθμήθητε Ἀγγέλοις.

Δυναμούμενος, δυνάμει θείου Πνεύματος, Κήγορε ἔνδοξε, πόνους ὑπέστης πολλούς, συρεὶς ὑπ᾽ ἀγρίων δέ, ἵππων κατήντησας, πρὸς οὐράνιον, νύσσαν τοῦ μαρτυρίου σου, ἐκτελέσας τὸν ἀγῶνα.

Ὡς διήλεγξας, τοῦ δικαστοῦ τὴν ἄνοιαν, ἐνθέῳ στόματι, καὶ παρρησίᾳ πολλῇ, τῷ ξίφει ἐκτέτμησαι, Μάρτυς τὴν κάραν σου, καὶ ἀνέδραμες, πρὸς δόξαν τὴν οὐράνιον, Ἱερουσαλὴμ ἁγία.

Θεοτοκίον.

Γέλως γέγονα, ἐχθρῷ τῷ πολεμοῦντί με, λόγοις καὶ πράξεσι, καὶ λογισμοῖς, πονηροῖς, ἀλλὰ τῇ εὐσπλάγχνῳ σου, σπεύδων χρηστότητι, ἀνακράζω σοι· Τῆς τούτου με ἀπάλλαξον, Θεοτόκε ἐπηρείας.

www.tezaurliturgic.ro



Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἔχει Βερροιέων σε ἡ πόλις, Ἱερουσαλὴμ Μάρτυς ἀήττητε, καύχημα καὶ στήριγμα· ἐν αὐτῇ γὰρ ἤθλησας, σὺν τοῖς ἁγίοις τέκνοις σου Χριστὸν δοξάσασα· διὸ καὶ τὴν σὴν κάραν τιμῶσα, πόθῳ ἑορτάζει, τὴν ἱεράν σου μνήμην.

Ῥήσεις τοῦ τυράννου τὰς ματαίας, σοφίᾳ τῇ θεϊκῇ καλλωπιζόμενοι, πίστει ἀποπτύσαντες, Μάρτυρες τετράριθμοι, Χριστοῦ τὴν θείαν σάρκωσιν ἀνεκηρύξατε, Σεκένδικε καὶ Σέκενδε μάκαρ, Ἱερουσαλήμ τε, καὶ Κήγορε θεόφρον.

Ἅπασαν βασάνων τε καὶ πόνων, ὑπέστητε στερροψύχως πεῖραν Ἅγιοι, οἷά περ ἀσώματοι, καὶ ἐχθρὸν τὸν ἄσαρκον, εἰς τέλος ἐκνευρίσαντες χοροῖς συνήφθητε, ἁγίων Ἀσωμάτων Ἀγγέλων, σὺν αὐτοῖς ὑμνοῦντες, Τριάδα τὴν Ἁγίαν.

Θεοτοκίον.

Σάρκα ἐξ ἀχράντων σου αἱμάτων, ἀτρέπτως ἀναλαβὼν Λόγος ὁ ἄναρχος, ὑπὸ χρόνον γέγονεν, ἅπαντα τὰ χρόνια, πάθη ἡμῶν ἰώμενος ὁ μόνος εὔσπλαγχνος· διό με παθημάτων χρονίων, λύτρωσαι Παρθένε, ὡς Μήτηρ τοῦ Κυρίου.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἵνα τῆς ζωῆς, τῆς κρείττονος Ἅγιοι γένησθε μέτοχοι, θάνατον τὸν βίαιον, ἀγαλλομένῃ ψυχῇ ἐδέξασθε, καὶ νικηταὶ ἀνήλθετε πρὸς τὰ οὐράνια, τὴν τοῦ πόθου, πλήρωσιν εὑράμενοι, καὶ χαρᾶς ἀϊδίου πληρούμενοι.

Μάρτυρες Χριστοῦ, Βερροίας καυχήματα, καὶ καλλωπίσματα, Ἱερουσαλὴμ σεμνή, Σέκενδε Κήγορε καὶ Σεκένδικε, μὴ παύσησθε πρεσβεύοντες τῷ Παντοκράτορι, τὴν παροῦσαν, πόλιν πάσης θλίψεως, τὴν τιμῶσαν ὑμᾶς ἀεὶ ῥύεσθαι.

Οἱ περιφανεῖς, ὁπλῖται τῆς πίστεως Σέκενδε Κήγορε,. Ἅγιε Σεκένδικε, σὺν τῇ συνάθλῳ ὑμῶν καὶ Μάρτυρι, μητρὶ τοῦτον τὸν ὕμνον μου εὐμενῶς δέξασθε, καὶ πταισμάτων, λύσιν μοι αἰτήσασθε, καὶ παθῶν ψυχοφθόρων ἐκλύτρωσιν.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ὕδωρ μοι ζωῆς, πηγὴ χαριτόβρυτε Παρθένε Ἄχραντε, βλῦσον καὶ κατάσβεσον, τὴν τῶν παθῶν μου φλόγα τὴν ἄσπετον, καὶ μετανοίας δάκρυσι τὸν νοῦν μου κάθαρον, ἵνα εὕρω, κάλλος ὃ ἀπώλεσα, καὶ τῆς θείας μετάσχω ἐλλάμψεως.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Μαρτύρων τὸν τετράριθμον, ἀνυμνήσωμεν δῆμον, σὺν Ἱερουσαλὴμ ὁμοῦ, τοὺς συμμάρτυρας ταύτης, Σεκένδικον σὺν Κηγόρῳ, καὶ τὸν Σέκενδον ἅμα, τοὺς εὐκλεεῖς αὐτῆς βλαστούς, τοὺς μιᾷ συμφωνίᾳ τοὺς ἱερούς, ἄθλους διανύσαντας ὁμοψύχως· ὑπὲρ ἡμῶν γὰρ πάντοτε, πρεσβεύουσι τῇ Τριάδι.

Θεοτοκίον.

Τὸν σαρκωθέντα Κύριον, ἐξ ἁγνῶν σου αἱμάτων, Θεογεννῆτορ Ἄχραντε, Θεοτόκε Παρθένε, ἱκέτευε ὑπὲρ πάντων, τῶν τιμώντων σε πόθῳ, ῥύεσθαι πάσης θλίψεως, καὶ παθῶν ἀκαθάρτων καὶ πειρασμῶν, καὶ διδόναι ἄφεσιν ὧν ἀφρόνως, καθ' ὥραν ἁμαρτάνομεν, λόγῳ ἔργῳ ἐννοίᾳ.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς καλῶς ἐναθλήσαντες, καὶ Χριστὸν μεγαλύναντες, Ἀθληταὶ τετράριθμοι μακαρίζεσθε, ᾀσματικοῖς μελῳδήμασιν, Ἱερουσαλὴμ σεμνή, καὶ Σεκένδικε κλεινέ, καὶ θεόληπτε Σέκενδε, μάκαρ Κήγορε, τὰ κατάκαρπα κλήματα ἀμπέλου, τῆς ζωῆς οἱ ἀφθαρσίας, τὸν θεῖον βότρυν περκάζοντες.

Εὐσεβείας τὸ κήρυγμα, ἐν μιμήσει ἐκήρυξας, Ἀποστόλων πάνσεμνε θείῳ ἔρωτι, πόλεις καὶ τόπους ἀμείψασα, καὶ Βέρροιαν φθάσασα, σὺν υἱοῖς σου τοῖς τρισί, μεθ' ὧν χαίρουσα ἤθλησας, καὶ κατήσχυνας, τοῦ Βελίαρ ἁπάσας τὰς μεθόδους, Ἱερουσαλὴμ θεόφρον, μετὰ τῶν τέκνων σου ἔνδοξε.

www.tezaurliturgic.ro



Ἀνυμνείσθωσαν σήμερον, οἱ καλλίνικοι Μάρτυρες, οἱ Χριστὸν δοξάσαντες θείοις σκάμμασι, σὺν τῷ Σεκένδῳ Σεκένδικος, τὰ ἄνθη τὰ εὔοσμα, καὶ ὁ Κήγορος ὁμοῦ, καὶ οἱ τούτους βλαστήσασα, καὶ ἐκθρέψασα, καὶ ἀθλήσασα ἅμα στερροτάτως, Ἱερουσαλὴμ ἡ θεία, ὡς τῆς Τριάδος ὑπέρμαχοι.

Καὶ βασάνοις θλιβόμενοι, καὶ πυρὶ δαπανώμενοι, καὶ ποιναῖς καὶ μάστιξι συντριβόμενοι, καὶ ὑπ' ἀλόγων συρόμενοι, καὶ ξίφει τεμνόμενοι, οὐκ ἠρνήσασθε Χριστόν, Ἀθλοφόροι τετράριθμοι, ἀλλὰ σύσκηνοι, τῶν Ἁγίων γεγόνατε Ἀγγέλων, καὶ πόλιν Βερροιέων, ἄθλοις ὑμῶν ἡγιάσατε.

Δόξα. Ἦχος πλ. α΄.

Ἀθλητικῶς ἀγωνισάμενοι, ἐν μιᾷ πίστεως συμφωνίᾳ, τοῦ Χριστοῦ τὸ πάθος ἐδοξάσατε, οἰκείοις μέλεσιν Ἅγιοι· αὐτῷ γὰρ ἀκολουθήσαντες, σαρκὸς φθειρομένης ὑπερείδετε, καὶ ἀτρέπτῳ καρδίᾳ, πόνοις ὁμιλοῦντες, τῆς εὐσεβείας τὸ κράτος πᾶσιν ἐτρανώσατε, τῶν ἀντικειμένων τὴν ἰσχὺν καθελόντες. Διὸ Βερροιέων ἡ πόλις, ἐν ὑμῖν καυχᾶται, καὶ τὴν ἁγίαν ὑμῶν μνήμην, πανδήμως ἑορτάζει. Ἀλλ' ὦ Ἱερουσαλὴμ μακαρία, σὺν τοῖς τρισὶν υἱοῖς σου, Σεκένδῳ Σεκενδίκῳ καὶ Κηγόρῳ, τῇ Παναγίᾳ Τριάδι πρεσβεύσατε, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε...

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.



www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων ἡ γ΄ καὶ στ΄ ᾠδή. Ἀπόστολον ζήτει τῇ β΄ Σεπτεμβρίου. Εὐαγγέλιον τῆς Τετάρτης τῆς γ΄ Ἑβδομάδος τοῦ Ματθαίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Ὕμνοις εὐφημείσθωσαν ἱεροῖς, Ἱερουσαλὴμ τε, καὶ Σεκένδικος ὁ κλεινός, ἅμα σὺν Κηγόρῳ, ὁμοῦ καὶ τῷ Σεκένδῳ, οἱ Μάρτυρες Κυρίου, οἱ ἀξιάγαστοι.

Δίστιχον.

Τετρὰς Μαρτύρων λαμπρῶς ἠγωνισμένων

Γερασίμου δέξασθε τὴν ὑμνῳδίαν.



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΙΕΡΟΥΣΑΛΗΜ ΚΑΙ ΤΟΥΣ ΣΥΜΜΑΡΤΥΡΑΣ ΚΑΙ ΥΙΟΥΣ ΑΥΤΗΣ ΣΕΚΕΝΔΟΝ, ΣΕΚΕΝΔΙΚΟΝ ΚΑΙ ΚΗΓΟΡΟΝ

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς κεκτημένοι οὐρανόθεν τὴν χάριν, πάντων πληροῦτε εὐμενῶς τὰς δεήσεις, καὶ τῶν παθῶν ἀπείργετε τὸν τάραχον, Ἱερουσαλὴμ σεμνή, σὺν τοῖς θείοις υἱοῖς σου· ὅθεν τοὺς προστρέχοντας, τῇ σεπτῇ ὑμῶν σκέπῃ, πειρατηρίων ῥύσασθε δεινῶν, ὡς παρρησίαν πρὸς Κύριον ἔχοντες.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους· οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ Ψαλμὸς καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.

«Λιταῖς σωθείημεν Ἀθλοφόρων. Γερασίμου».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Λαμπτῆρες τῆς θείας Ἀνατολῆς, Ἱερουσαλήμ τε, σὺν τοῖς τέκνοις σου τοῖς κλεινοῖς, λύσατε παθῶν ἡμῶν τὸν ζόφον, ταῖς φωταυγέσιν ὑμῶν παρακλήσεσι.

www.tezaurliturgic.ro



Ἰάσεις πηγάζουσα δαψιλεῖς, ἡ θεία σου κάρα, θεραπεύει πᾶσαν ψυχήν, Ἱερουσαλὴμ Ὁσιομάρτυς, καὶ τῶν σωμάτων ἰᾶται παθήματα.

Τετρὰς Ἀθλοφόρων πανευκλεῶν, ἀεὶ δυσωπεῖτε, Θεαρχίαν τὴν Τριφαῆ, διδόναι ἡμῖν πταισμάτων λύσιν, καὶ ἀναγκῶν πολυτρόπων ἐκλύτρωσιν.

Θεοτοκίον.

Ἀφράστως τεκοῦσα τὸν Ποιητήν, φθορᾶς με ἁπάσης, Ἀειπάρθενε Μαριάμ, καὶ ἐκ ψυχοφθόρων νοσημάτων, τῇ σῇ εὐσπλάγχνῳ ῥοπῇ ἀποκάθαρον.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἰσχυρῶς καθελόντες, τὸν νοητὸν τύραννον, Ἱερουσαλὴμ θείοις ἄθλοις, μετὰ τῶν τέκνων σου, τούτου λυτρώσασθε, τῆς χαλεπῆς κακουργίας, τοὺς θερμῶς προστρέχοντας, ὑμῖν ἑκάστοτε.

Σοῦ τὴν πάντιμον κάραν, ὡς θησαυρὸν ἔχουσα, Ἱερουσαλὴμ μακαρία, ἡ πόλις Βέρροια, καρποῦται πάντοτε, τὴν ἐξ αὐτῆς προϊοῦσαν, χάριν θεοδώρητον, ὕμνον σοι ᾄδουσα.

Συμφωνίᾳ καρδίας, μιᾷ ψυχῇ ἥνυσαν, ὑπὲρ σοῦ οἱ Μάρτυρες Λόγε, τὰ θεῖα σκάμματα, ὧν ταῖς δεήσεσιν, ἐν ὁμονοίᾳ καὶ πίστει, ἡμᾶς ἐνδυνάμωσον, ἐμπολιτεύεσθαι.

Θεοτοκίον.

Ὡς πυρίμορφος θρόνος, καὶ λογικὸν σκήνωμα, τοῦ Παμβασιλέως τῆς δόξης, καὶ Παντοκράτορος, ναόν με ἔργασαι, Θεογεννῆτορ Παρθένε, τῆς αὐτοῦ λαμπρότητος, ἵνα δοξάζω σε.

Διάσωσον τετρὰς Ἁγίων Μαρτύρων πάσης ἀνάγκης, Ἱερουσαλήμ τε μετὰ τῶν τέκνων σου, τοὺς ἐξαιτοῦντας τὴν θείαν ὑμῶν πρεσβείαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ...

www.tezaurliturgic.ro



Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

Χριστῷ τῷ Θεῷ, μὴ παύσητε πρεσβεύοντες, ὦ Ἱερουσαλήμ, μετὰ τῶν θείων τέκνων σου, διδόναι παθῶν ἴασιν, καὶ δεινῶν συμφορῶν ἀπολύτρωσιν, τοῖς προσιοῦσιν ὑμῖν εὐλαβῶς, καὶ πόθῳ ὑμᾶς ἀεὶ γεραίρουσι.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Θησαυρὸν ὡς θεόσδοτον, Ἱερουσαλὴμ τὴν κάραν σου ἔχοντες, καὶ πιστῶς ταύτῃ προσπίπτοντες, εὐφροσύνης θείας ἐμπιπλάμεθα.

Ἐκ κινδύνων καὶ θλίψεων, Σέκενδε λυτρώσασθε καὶ Σεκένδικε, σὺν Κηγόρῳ τοὺς προστρέχοντας, τῇ θερμῇ πρεσβείᾳ ὑμῶν Ἅγιοι.

Ἱλασμὸν ἐξαιτήσασθε, Ἱερουσαλὴμ ἡμῖν σὺν τοῖς τέκνοις σου, καὶ παθῶν τὴν ἀπολύτρωσιν, τοῖς ὑμῶν γεραίρουσι τὴν ἄθλησιν.

Θεοτοκίον.

Ἡ Θεὸν σωματώσασα, καὶ μετὰ τὸν τόκον ἄφθορος μείνασα, Θεοτόκε Ἀειπάρθενε, ἐκ φθορᾶς τὸν νοῦν μου ἐλευθέρωσον.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Μάρτυς τοῦ Χριστοῦ, Ἱερουσαλὴμ πανθαύμαστε, ἐκ θανάτου ἁμαρτίας χαλεποῦ, τοὺς προστρέχοντας τῇ σκέπῃ σου ἀπάλλαξον.

Ἔχει πρεσβευτάς, ὑμᾶς Βέρροια πρὸς Κύριον, ὦ τετράριθμοι Τριάδος Ἀθληταί· διὰ τοῦτο ὑμῖν σπεύδει μετὰ πίστεως.

Νόσων ψυχικῶν, καὶ σωμάτων ἐκλυτρούμεθα, τῇ πρεσβείᾳ ὑμῶν Μάρτυρες Χριστοῦ· διὰ τοῦτο εὐλαβῶς ὑμῖν προσπίπτομεν.

Θεοτοκίον.

Ἄχραντε Ἁγνή, Θεοτόκε Ἀειπάρθενε, τὴν χρανθεῖσαν μου καρδίαν ἡδοναῖς, ἀποκάθαρον τοῖς ρείθροις τοῦ ἐλέους σου.

www.tezaurliturgic.ro



Ὠδὴ στ΄. Τὴν δέησιν.

Θαυμάτων, ἀναβλυστάνουσα χάριν, ὡς θεόθεν δοξασθεῖσα ἀξίως, παῦσον ἡμῶν τὰς ὀδύνας καὶ πόνους, καὶ πειρασμῶν τὰς ἐφόδους ἀνάστειλον, ὦ Ἱερουσαλὴμ σεμνή, τῇ θερμῇ σου πρεσβείᾳ πρὸς Κύριον.

Λεόντων, τῶν νοητῶν τὴν μανίαν, καθ' ἑκάστην καθ' ἡμῶν κινουμένων, τῇ κραταιᾷ ὑμῶν ὄντως πρεσβείᾳ, κατασυντρίψατε Ἅγιοι Μάρτυρες, καὶ ἐν εἰρήνῃ ἀληθεῖ, καὶ ἀγάπῃ ἡμᾶς κυβερνήσατε.

Οἱ θεῖοι, τοῦ Βασιλέως τῆς δόξης, στρατιῶται καὶ γενναῖοι ὁπλῖται, σὺν τῷ Σεκένδῳ Σεκένδικε μάκαρ, καὶ τῷ Κηγόρῳ ἡμῶν ἀντιλήπτορες, καὶ Ἱερουσαλὴμ ὁμοῦ, εὐμενῶς τὰς λιτὰς ἡμῶν δέξασθε.

Θεοτοκίον.

Φανεῖσα, τῶν οὐρανῶν πλατυτέρα, τὸν ἀχώρητον ἐν πάσῃ τῇ κτίσει, ἐν τῇ γαστρί σου ἐχώρησας Κόρη, καὶ τοῖς ἀνθρώποις ἀφράστως προήγαγες, στενοχωρίας τῶν παθῶν, τοὺς πιστῶς σε ὑμνοῦντας ῥυόμενον.

Διάσωσον τετρὰς Ἁγίων Μαρτύρων πάσης ἀνάγκης, Ἱερουσαλὴμ τε μετὰ τῶν τέκνων σου, τοὺς ἐξαιτοῦντας τὴν θείαν ὑμῶν πρεσβείαν.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον...

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Ὡς καθελοῦσα τὸν δόλιον δράκοντα, σὺν τοῖς υἱοῖς μαρτυρίου παλαίσμασιν, Ἱερουσαλὴμ παμμακάριστε, ἐκ τῆς αὐτοῦ κακουργίας ἀπάλλαξον, τοὺς πίστει καὶ πόθῳ τιμῶντάς σε.

Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Εὐαγγέλιον, κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώ-

www.tezaurliturgic.ro



ξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσετε δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν, κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Δόξα. Ταῖς τῶν Ἀθλοφόρων...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι...

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ὅμιλε θεόληπτε, τῶν τετραρίθμων Μαρτύρων, Ἱερουσαλὴμ σεμνή, Σέκενδε καὶ Κήγορε καὶ Σεκένδικε, πειρασμῶν λύσατε, τὰς ἐπαναστάσεις, καὶ εἰρήνην ἀστασίαστον, ἡμῖν αἰτήσασθε, καὶ παθῶν παντοίων τὴν ἴασιν, καὶ τῶν πταισμάτων ἄφεσιν, παρὰ τοῦ τῶν ὅλων Δεσπόζοντος, ἡμῖν τοῖς ἐν πίστει, προστρέχουσιν ὑμῶν τῇ ἀρωγῇ, καὶ τὸν ὑμᾶς στεφανώσαντα, Κύριον δοξάζουσι.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας...

Ὄμβροις θείων χαρίτων, τῆς θερμῆς σου πρεσβείας πρὸς τὸν Φιλάνθρωπον, τὸ πῦρ τῶν νοσημάτων, καὶ τῶν παθῶν τὴν φλόγα, Ἀθληφόρε κατάσβεσον, τῶν ἐκζητούντων πιστῶς, τὴν σὴν ἐπιστασίαν.

Ῥῶσιν δίδοσθε θείαν, καὶ ὑγείαν ψυχῆς τε ὁμοῦ καὶ σώματος, καὶ πᾶσαν εὐεξίαν, καὶ βίου εὐπραγίαν, Ἀθλοφόροι αὐτάδελφοι, τοῖς ἀνυμνοῦσιν ὑμῶν, τὰς θείας ἀριστείας.

Ὡς ἐν φύσει καὶ πίστει, ἡνωμένοι ἐν πᾶσιν Ἅγιοι Μάρτυρες, ἡμᾶς ἐν ὁμονοίᾳ, βιοῦν καὶ πολιτείᾳ, καθαρᾷ ἀξιώσατε, τοὺς προσιόντας θερμῶς, ὑμῶν τῇ ἀντιλήψει.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Νοῦν μοι σώφρονα δίδου, καὶ κατάνυξιν Κόρη ἐν τῇ καρδίᾳ μου, ὡς ἂν ἐν μετανοίᾳ, διέλθω τῆς ζωῆς μου, τὸ ὑπόλοιπον Ἄχραντε, καὶ τῆς ἀλήκτου χαρᾶς, μετὰ τὸ τέλος τύχω.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Γενοῦ μοι Μάρτυς, καταφυγὴ ἐν ἀνάγκαις, τῷ προστρέχοντι τῇ σῇ σεπτῇ πρεσβείᾳ, Ἱερουσαλήμ, ὡς λιμένι ἀκυμάντῳ.

Ἔργοις ἐνθέοις, κατακοσμεῖσθαι ἐν πᾶσιν, ἀξιώσατε ἡμῶν τὴν πολιτείαν, τρίστιχε χορεία, Μαρτύρων αὐταδέλφων.

Ἀσθενημάτων, ἴασιν δίδοσθε πᾶσι, καὶ ἐκλύτρωσιν πολυειδῶν κινδύνων, Μάρτυρες Κυρίου, ἡμῖν ἐκδυσωποῦμεν.

Θεοτοκίον.

Σῶσόν με, Κόρη, τῆς ὀλεθρίου μανίας, τοῦ ἀλάστορος τοῦ κατ' ἐμοῦ λυττῶντος, καὶ ῥῦσαι τὸν νοῦν μου, τῆς τούτου ἐπηρείας.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἱλέωσαι τὸν Κτίστην, ἡμῖν μακαρία, ὡς ἂν πταισμάτων τὴν ἄφεσιν λάβωμεν, καὶ ἐναρέτως ἐν κόσμῳ πολιτευσώμεθα.

Μαρτύρων θεῖον στῖφος, πρὸς τῶν μαρτυρίων τῶν θεϊκῶν τὴν ὁδὸν κατευθύνατε, τοὺς τὴν σεπτὴν ὑμῶν ἄθλησιν μακαρίζοντας.

Ὁλόφωτον παστάδα, ἤδη κατοικοῦντες, θεοειδεῖς Ἀθλοφόροι τετράριθμοι, ἐκ σκοτασμοῦ παθημάτων ἡμᾶς λυτρώσασθε.

Θεοτοκίον.

Ὑψίστου θεῖε θρόνε, Κεχαριτωμένη, ἐξ ἐννοιῶν ψυχοφθόρων ἀνύψωσον, πρὸς ἀρετῶν ἀναβάσει τὸν νοῦν μου δέομαι.

Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.

Χαίροις τῶν Μαρτύρων τετρὰς σεπτή, Ἱερουσαλήμ τε, καὶ Σεκένδικος ὁ κλεινός, Σέκενδε θεόφρον, καὶ Κήγορε τρισμάκαρ, ἡμῶν πρὸς τὴν Τριάδα, πρέσβεις ἀκοίμητοι.

www.tezaurliturgic.ro



Ἤθλησας νομίμως ὑπὲρ Χριστοῦ, μετὰ τῶν υἱῶν σου, ἀνδρικῶς Ἱερουσαλήμ, καὶ τῆς ἄνω δόξης, σὺν τούτοις ἠξιώθης, μεθ' ὧν καὶ εὐμενίζου, ἡμῖν τὸν Κύριον.

Τέσσαρσιν ἐν σώμασιν ἐν μιᾷ, ψυχῇ ἠθληκότες, ἀληθῶς Ἱερουσαλήμ, μετὰ τῶν υἱῶν σου, ὁμοῦ βραβείων ἴσων, παρὰ τοῦ Ἀθλοθέτου, κατηξιώθητε.

Χαίροις αὐταδέλφων τριὰς σεπτή, παῖδες τοῦ Κυρίου, καὶ πανθαύμαστοι Ἀθληταί, Σέκενδε τρισμάκαρ, Σεκένδικε θεόφρον, καὶ Κήγορε Τριάδος ὁπλῖται ἄριστοι.

Ρύσασθε κινδύνων καὶ πειρασμῶν, Ἱερουσαλήμ τε, καὶ Σεκένδικος ὁ κλεινός, Σέκενδε θεόφρον, καὶ Κήγορε παμμάκαρ, τοὺς τῇ σεπτῇ πρεσβείᾳ, ὑμῶν προστρέχοντας.

Τοὺς ὑμᾶς τιμῶντας πανευλαβῶς, Ἱερουσαλήμ τε, σὺν τοῖς τέκνοις σου τοῖς τρισί, πάσης δυσπραγίας, καὶ πόνων καὶ κινδύνων, φυλάττετε ἀτρώτους, ὑμῶν δεήσεσι.

Πᾶσαι τῶν Ἀγγέλων...

Τὸ Τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Στῖφος τετραρίθμων Ἀθλητῶν, Ἱερουσαλὴμ μακαρία, μετὰ τῶν τέκνων σου, Κήγορε Σεκένδικε, καὶ θεῖε Σέκενδε, πάσης βλάβης καὶ θλίψεως, καὶ πάσης ἀνάγκης, ἀσινεῖς τηρήσατε, ὑμῶν δεήσεσι, πάντας τοὺς πιστῶς προσιόντας, τῇ σεπτῇ ὑμῶν προστασίᾳ, Μάρτυρες Χριστοῦ ἀξιοθαύμαστοι.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

Δίστιχον.

Τετράριθμον σύστημα ὑμῖν προστρέχει
Γεράσιμος αἴτησιν ὑμῖν προσάγων.

Δῶρον ἱερὸν πνευματικῶν ἐξ ὕμνων
Παύλου Ποιμένος Βερροίας καὶ Ναούσης
τοῖς τῇ Ἑαυτοῦ Μητροπόλει Ἁγίοις
ὧν λιταῖς φιλάνθρωπε Αὐτὸν φυλάττοις.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro